Docendum eſt etiam, neque conducere quidem mendoſum teſtimonium. Nam & vtilitates paruas eſſe, & argui difficillimum, præſertim cùm deprehenſum non ſolùm argento, verùm & gloriæ, & perfidiæ pœna leges plectendum volunt. De teſtium igitur fide ita loquemur. Ij autem, qui teſtimonio contradicunt, oportet teſtis moribus detrahant, ſi improbus fuerit, aut teſtificatum quærendum eſſe dicant. ſi minus probabilitatis habuerit, aut horum vtrique contra dicant, & in vnum omnia aduerſariorum vitia, flagitiáque congerant. Conſiderandum eſt etiam an teſtis ei, cui teſtimonium dicit, amicus eſt, aut ſi ſecum negotij alicunde eſt particeps, aut ſi ei, quem contra teſtificatur, inimicus eſt, aut pauper. Hi etenim alij gratia, alij cruciatu, alij lucro mendacij ſuſpicioni obnoxij teſtificando exiſtunt, & falſorum teſtium legem de his legumlatorem tuliſſe inquiemus. Proinde abſurdum eſſe dicemus, quibus legumlator nō crediderit, iudices, qui ſecundum leges iudicare iurati ſunt, teſtibus ipſis credant. Hoc igitur modo teſtium fidem infirmabimus. Poterimus autem & teſtimonium imprudentibus aduerſariis noſtris ſubducere, hoc pacto: Dic mihi, ô Callicle, teſtimonium. Per Deos immortales nullo modo ſum dicturus: nam me prohibente hæc geſta ab hoc ſunt. Et ob id ferenda ſententia falſus teſtis ſalſi teſtimonij pœnæ non erit obnoxius. Cùm igitur teſtimonium ſubducere nobis conduxerit, ſic eo vtemur. Quòd ſi aduerſarij tale quid fecerint, demonſtrabimus eorum verſutiam, & ſcriptis teſtimonium dicere iubebimus. Quomodo igitur & teſtibus, & teſtimoniis vti conueniat, ex his ſciemus.

CAPVT XVII.

Qvæſtio verò, eſt inuita conſcij hominis confeſſio. Cùm nobis igitur vtile fuerit eam vehementem efficere, dicendum erit vt priuatim quidem homines de valde neceſſariis, ciuitates autem de maximis rebus ex quæſtionibus probationes capiunt, quódque certior teſtibus eſt quæſtio. Nam teſtibus mentiri conducit ſæpe: quibus autem quæſtiones admotæ ſint, veritatem loqui plurimum vtilitatis affert: ſic enim cruciatu celerrimè liberantur. Cùm verò quæſtiones improbare volueris, primùm quidem dicendum erit, vt quæſtionibus cruciati, iis, à quibus traditi ſunt, hoſtes fiunt, & propterea nonnihil in heros mentiuntur:

A δεῖ δὲ καὶ διδάσκειν, ὅτι οὐ συμφέρει τὸ ψευδῶς μαρτυρεῖν. αἱ μὲν γὰρ ὠφέλειαι, μικραί· τὸ δ' ἐξελεγχθῆναι, χαλεπόν. γνωσθέντα δ' οὐ μόνον εἰς ἀργύριον οἱ νόμοι ζημιοῦσιν, ἀλλὰ καὶ εἰς δόξαν, καὶ εἰς ἀπιστίαν. τοὺς μὲν οὖν μάρτυρας, οὕτω πιστοὺς ποιήσομεν. ἀντιλέγοντας δὲ μαρτυρίᾳ, δεῖ τὸν τρόπον τοῦ μάρτυρος διαβάλλειν, ἂν ᾖ πονηρός· ἢ τὸ μαρτυρούμενον ἐξετάζειν, ἂν ᾖ πιθανόν, ἢ καὶ

B συναμφοτέροις τούτοις ἀντιλέγειν, συνάγοντα τὰ φαυλότατα τῶν ἐναντίων εἰς ταὐτό. σκεπτέον δὲ καὶ εἰ φίλος ἐστὶν ὁ μάρτυς ᾧ μαρτυρεῖ, ἢ εἰ μέτεστιν αὐτῷ πόθεν τοῦ πράγματος, ἢ ἐχθρός ἐστιν οὗ καταμαρτυρεῖ, ἢ πένης. τούτων γὰρ οἱ μὲν διὰ χάριν, οἱ δὲ διὰ τιμωρίαν, οἱ δὲ διὰ κέρδος ὑποπτεύονται τὰ ψευδῆ μαρτυρεῖν. καὶ τὸν τῶν ψευδομαρτυριῶν

C νόμον, ὅτι τούτοις τεθεικέναι φήσομεν τὸν νομοθέτην. ἄτοπον οὖν εἶναι τοῦ νομοθέτου τοῖς μάρτυσι μὴ πιστεύσαντος, τοὺς κρίνοντας πιστεύειν αὐτοῖς κατὰ τοὺς νόμους κρίνειν ὀμωμοκότας. τοὺς μὲν οὖν μάρτυρας οὕτως ἀπιθάνους ποιήσομεν. ἔστι δὲ καὶ κλέπτειν τὴν μαρτυρίαν τρόπῳ τοιῷδε· μαρτύρησόν μοι ὦ Λυσικλῆς. μὰ τοὺς θεοὺς οὐκοῦν ἔγωγε· κωλύοντος γὰρ ἐμοῦ, ταῦτα ἔπραξεν οὗτος. καὶ διὰ

D τοῦτο ἐν ἀποφάσει ψευδομαρτυρήσας, ψευδομαρτύρων δίκην οὐχ ὑφέξει. τοιγαροῦν, ὅταν μὲν ἡμῖν συμφέρῃ κλέπτειν τὴν μαρτυρίαν, οὕτως αὐτῇ χρησόμεθα. ἐὰν δὲ οἱ ἐναντίοι τοιοῦτόν τι ποιήσωσιν, ἐμφανιοῦμεν τὴν κακοποιίαν αὐτῶν, καὶ συγγραψαμένοις μαρτυρεῖν κελεύσομεν. μάρτυσι μὲν οὖν καὶ μαρτυρίαις ἐκ τούτων ἴσμεν ὡς δεῖ χρήσασθαι.

E

Κεφάλαιον ιζ.

Βάσανος δέ ἐστι μὲν ὁμολογία παρὰ συνειδότος, ἄκοντος δέ. ὅταν μὲν οὖν συμφέρῃ ἡμῖν ποιεῖν αὐτὴν ἰσχυράν, λεκτέον ὡς οἵ γε ἰδιῶται περὶ τῶν σπουδαιοτάτων, καὶ αἱ πόλεις περὶ τῶν μεγίστων, ἐκ βασάνων τὰς πίστεις λαμβάνουσι, καὶ διότι πιστότερόν ἐστι βάσανος μαρτύρων. τοῖς μὲν γὰρ μάρτυσι συμ-

F φέρει πολλάκις ψεύσασθαι. τοῖς δὲ βασανιζομένοις, λυσιτελεῖ τἀληθῆ λέγειν. οὕτω γὰρ παύσονται τάχιστα τῆς κακοπαθείας. ὅταν δὲ βούλῃ τὰς βασάνους ἀπίστους ποιεῖν, πρῶτον μὲν λεκτέον, ὡς οἱ βασανιζόμενοι τοῖς ἐκδιδοῦσι πολέμιοι γίνονται, καὶ διὰ τοῦτο πολλοὶ τῶν δεσπο-

τῶν κα·